# TEZAUR LITURGIC

## 5 IUNIE

## ISIDORA AGHIROTITISSA

# PARACLISUL
# SF.IERARH-MUCENIC
# DOROTEI,
# EPISCOPUL TIRULUI

ATENA,2007


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 5 ΙΟΥΝΙΟΣ
# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΔΩΡΟΘΕΟΥ ΤΥΡΟΥ

**Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Μετὰ σπουδῆς τὰ τοῦ Θεοῦ μελετήσας, διηνεκῶς τε ἐν αὐτοῖς ἐντρυφήσας, τὰς συγγραφάς σου ἔλιπες, ὡς πλοῦτον ἡμῖν. Πάνσεπτε Δωρόθεε, Ἀρχιθύτα τῆς Τύρου, κάλαμε ὀξύτατε, τῆς Χριστοῦ Ἐκκλησίας· καὶ μυστολέκτα πίστεως ὀρθῆς, ἣν ἐν βασάνοις, καλῶς ἐβεβαίωσας.

*Δόξα. Ὅμοιον.*

Τὸν τοῦ Χριστοῦ ἀκροτελῆ Ἱεράρχην, καὶ ἐκκλησίας τὴν ἀκράδαντον πέτραν, τὸν ἱερὸν Δωρόθεον, αἰνέσωμεν νῦν. Ἄγγελον ποιμάναντα, ἐκλογάδα τῆς Τύρου, λύχνον διαχέοντα, ἱλαρὸν φῶς ἐν κόσμῳ· καὶ εὐπρεπείᾳ ἔργων θαυμαστῶν, πᾶσι δεικνύνται, Χριστοῦ τὴν λαμπρότητα.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *Χαῖρε Δωρόθεε σοφέ, τῆς Τύρου Ἀρχιθύτα.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Χειρῶν σου ἁγίων τὰς πρὸς Θεόν, ὑψώσεις ἐν πίστει ἐκζητοῦντες ὁλοτελεῖ, Δωρόθεε Ἄγγελε τῆς Τύρου· ἀπὸ ψυχῆς σοι ᾠδὰς ἀναμέλπομεν.

Ἀνέτειλας ἄστρον ὡσεὶ λαμπρόν, ἐκ Τύρου οὗ πόδες ἐπεβάδισαν τοῦ Χριστοῦ, καὶ φέγγει πολλῶν κατορθωμάτων πᾶσαν τὴν κτίσιν εὐφραίνεις Δωρόθεε.

Ἰδὼν τῆς ψυχῆς σου τὸ εὐγενές, Χριστὸς ὁ ἐτάζων τὰς καρδίας πάντων βροτῶν, Μονὴν σὲ εἰργάσατο ἀξίαν· τῆς παρουσίας Αὐτοῦ ὦ Δωρόθεε.

*Θεοτοκίον.*

Ῥημάτων ἀκούσασα εὐπειθῶς, τοῦ θείου Ἀγγέλου ἀειπάρθενε Μαριάμ, Θεὸν ἀπεκύησας ἀφράστως· παρακοήν τε τῆς Εὔας ἠνόρθωσας.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐν τῷ νόμῳ Κυρίου, τὰ τοῦ νοὸς βήματα, ὅλη σοῦ συνέσει ῥυθμίσας, μάκαρ Δωρόθεε, ἐν τοῖς τοῦ βίου δεινοῖς, καὶ λυπηροῖς ἀδοκήτοις, ὡσεὶ βράχος πίστεως, ἔστης ἀσάλευτος.

Διδασκάλων ὑπάρχεις, τῶν ἱερῶν πρώτιστος, καὶ τῶν ἱκανῶν συγγραφέων, κάλαμος εὔγραφος, Ἀρχιερέων τιμή, Ὁσίων θεία λαμπρότης, καὶ Μαρτύρων στέφανος, Πάτερ Δωρόθεε.

Ὡς ὁ Πέτρος ὁ μέγας, τὸ πρὸς Χριστὸν ἔνθερμον, φίλτρον ἐβεβαίου ποιμάνας, Τούτου τὰ πρόβατα, οὕτω τῆς Τύρου καὶ σύ, τὴν ἐκλογάδα ποιμάνας, παρ᾿ Αὐτοῦ Δωρόθεε, εὗρες τὸν ἔπαινον.

*Θεοτοκίον.*

Ῥητορεύσεις ἁπάντων, τῶν προφητῶν Δέσποινα, πέρας ἐπὶ σοὶ ἀληθείας, εὑρὸν σαφέστατα, ὅτι Θεὸν τοῦ παντός, ἄνευ ἀνδρὸς συλλαβοῦσα, σαρκοφόρον τέτοκας, μόνε Πανάχραντε.

Κατεύθυνον, εἰς ἀληθείας τὴν τρῖβον τὴν εὐθυτάτην, τοὺς τιμῶντας σοῦ εὐλαβῶς τοῦ ἄθλους Δωρόθεε, ὡς ἴθυνας Τύρου τὴν ἐκλογάδα.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Σοφίας Θεοῦ, τὸν μύστην τὸν ἀκρότατον, γραμμάτων ὀξύν, καὶ ἄριστον διδάσκαλον, εὐλαβῶς Δωρόθεον τὸν τῆς Τύρου πρόεδρον μέλψωμεν, τὸν πολιτείαν φίλων τοῦ Θεοῦ, ἐν βίβλοις ἁγίαις διηγούμενον.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Οὐρανίῳ φρονήματι, ἐπὶ γῆς Δωρόθεε πεπολίτευσαι· ὅθεν εὗρες αἰωνίζουσαν, σὺν Ἀγγέλοις δόξαν καὶ λαμπρότητα.

Θεαρέστως Δωρόθεε, γεωργήσας Τύρου τὴν θείαν ἄμπελον· ἣν ὁ Κύριος ἐφύτευσεν, πολλαχῶς τὰ δράγματα συνέλεξας.

Ἐκκλησίας ἑδραίωμα, καὶ τῆς ἀληθείας ἄσειστον ἔρεισμα· ἀγαθότητος δὲ κήρυκα, ἀγαθὲ Δωρόθεε σὲ ἔχομεν.

*Θεοτοκίον.*

Εἰρηνόδωρε Δέσποινα, τῶν ἀπηλπισμένων ἐλπὶς ἀναίσχυντε· τῷ Θεῷ Ὃν ἐσωμάτωσας, σαῖς εὐχαῖς εἰρήνευσόν με δέομαι.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σκεῦος ἐκλογῆς, ὡς ὁ Παῦλος ἀναδέδειξαι, ὦ Δωρόθεε βοήσας τῷ Θεῷ, τῆς σῆς ἀγάπης, τῶν τῆς γῆς οὐδὲν χωρίσει με.

Ὄμμασι ψυχῆς, τῷ Κυρίῳ σοῦ ἠτένιζες, ἐν ἀγώνων σου Δωρόθεε καιρῷ, καὶ τῆς ἐλπίδος, τῆς καλλίστης οὐ διήμαρτες.

Φύλαξ ἐντολῶν, τῶν ἁγίων ἐννομώτατος, καὶ τῆς Χάριτος διάκονος πιστός, ἐν γῇ ἐγνώσθης, ὦ Δωρόθεε μακάριε.

*Θεοτοκίον.*

Ἔστη μέχρι σοῦ, θανάτου τὸ Βασίλειον, Μαριὰμ ὅτι ἀπέτεκες Θεόν, καὶ Βασιλέα, ἀναστάντα ἐκ τοῦ μνήματος.

*Ὠδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.*

Τομώτερος, τῆς μαχαίρας γέγονε, ὁ σὸς λόγος ὁ σοφὸς Ἱεράρχα· τῶν δυσσεβῶν, ἐκτεμὼν τὰς ἀκάνθας, καὶ ζιζανίων καθαίρων τὸ ἄτοπον καὶ πλάνης τῶν μακρὰν Θεοῦ· διελέγχων τὸ φαῦλον Δωρόθεε.

Ἡδύτητος, τῆς πρόσκαιρου πέλουσιν, ὑπερέκεινα αἱ θεῖαί σου ῥήσεις· πᾶσαν ἐχθροῦ, τὴν δυσώδη πικρίαν, ἀποδιώκουσαι πόῤῥῳ καὶ νέμουσαι· εὐώδους χάριτος πνοὴν Παρακλήτου τῇ αὔρᾳ Δωρόθεε.

Σκαιότητος, νομικῆς παρέδραμες, τὸ νυκτῶδες ὢ Δωρόθεε σκότος· καὶ τὴν αὐγήν, λευκοφόρου ἡμέρας, ἐν λειτουργίᾳ αἰνέσεως ἔφερες· υἱὸς ὡς μέγας τοῦ φωτὸς· κληρονόμος αἰῶνος τε μέλλοντος.

*Θεοτοκίον.*

Τηρήσασα, παρθενίαν ἄμεμπτον, καὶ ἁγνείας καθαρὰν τὴν σφραγῖδα· μόνη ἐν σοί, Θεοτόκε Μαρία, ὁ ποιητὴς τῶν αἰώνων ἐσκήνωσεν· ποιήσας σε Ἀγγελικῶν στρατιῶν τιμιώτερον ὄχημα

Κατεύθυνον, εἰς ἀληθείας τὴν τρῖβον τὴν εὐθυτάτην, τοὺς τιμῶντας σου εὐλαβῶς τοὺς ἄθλους Δωρόθεε, ὡς ἴθυνας Τύρου τὴν ἐκλογάδα.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀριστείας τῶν θεοπρεπῶν διδαγμάτων σου, καὶ τοὺς πόνους τῶν διὰ Χριστὸν ἀθλημάτων σου, ἐγκωμίων χρεωστικαῖς γεραίροντες ᾠδαῖς· πιστῶς κράζομέν σοι ἐκ ψυχῆς, χαίροις τῆς Τύρου ἀῤῥαγής, πέτρα μάκαρ Δωρόθεε· Στήριξον ἐν τῇ πίστει, καὶ κράτυνον ἐν ἰσχύϊ, τῆς ἀγαπήσεως Θεοῦ, τοὺς ἀεί σε μακαρίζοντας.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ τοῦ δ’ ἤχου.

Προκείμενον. *Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Στίχ. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (ι΄ 9-16).(Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου, εἰς τὴν Λειτουργίαν).*

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσιν, καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν.

Δόξα. *Ταῖς τοῦ σοῦ Ἱεράρχου, πρεσβείαις...*

Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον...*

Προσόμοιον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.
Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...*
Τύρου τὴν θεόλαχον, ἀναλαβῶν ἐκκλησίαν, εἰς ζωῆς τὰ νάματα, συνετῶς Δωρόθεε καθωδήγησας· τοῖς πιστοῖς γέγονας, ἐγκρατείας μέτρον, τῆς σοφίας τύπος ἄριστος· κανὼν πραότητος, θεοῤῥημοσύνης διδάσκαλος· ἀγάπης τε καὶ πίστεως, καὶ ἐλπίδος πλῆρες κεφάλαιον· στῦλος φωτοφόρος, τὸν νέον Ἰσραὴλ καθοδηγῶν, ἐν ἀναβάσεων κλίμακι, Θεοῦ εἰς σκηνώματα.

*ᾨδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὑπακούσας προθύμως, ἐντολαῖς ταῖς ἁγίαις ἐν θεολήπτῳ ψυχῇ, Δωρόθεε ἠρνήσω, σαυτὸν καὶ τὸν Σταυρόν σου, ἐπὶ ὤμων ἀράμενος· κατηκολούθεις Χριστῷ, χρισθεὶς Αὐτοῦ τῷ μύρῳ.
Ῥαθυμίας τὸν ὕπνον, ἀποθέμενος ὅλως ἐκ σοῦ Δωρόθεε, λαμπάδα τῆς ψυχῆς σου, ἀκοίμητον ἐτήρεις, ἐν ἐλαίῳ χρηστότητος· διὸ εἰσῆλθες χαρᾷ, φωτὸς εἰς τὸν νυμφῶνα.
Οὐρανόφρονι γνώμῃ, εὐθυτάτῃ καρδίᾳ καὶ πολιτείᾳ σεμνῇ, ὡδήγησας τῆς Τύρου, Δωρόθεε τὴν μάνδραν, εἰς πηγὰς ζῶντος ὕδατος· τόπος καὶ τύπος Χριστοῦ, γενόμενος τοῖς πᾶσιν.

*Θεοτοκίον.*

Ὑψηλότατος Θρόνος, τοῦ Δεσπότου τῶν ὅλων γέγονας Κόρη Ἁγνή, βαστάσασα χερσί σου, ἁγίαις

ὥσπερ βρέφος, Ὃν δοξάζει ἡ σύμπασα· καὶ ὑπακούει πιστῶς, παρ᾽ Οὗ τὸ εἶναι ἔχει.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἀκτημοσύνῃ, καὶ σωφροσύνῃ διάγων, ἐπὶ γῆς ἑκουσίᾳ σου γνώμῃ, εὗρες ἐν ὑψίστοις, Δωρόθεε τὸν πλοῦτον.

Ῥεόντων πάντων, ὡς νουνεχὴς ὑπερεῖδες, καὶ Θεοῦ τὴν ἀκήρατον δόξαν, ὅλῃ σου καρδίᾳ,
Δωρόθεε ἐπόθεις.

Χαράξας νόμον, τὸν τοῦ Θεοῦ ἐν πλαξῖ σου, τῆς καρδίας Δωρόθεε μάκαρ, γέγονας Μωσέως, ἐφάμιλλος τῇ τάξει.

*Θεοτοκίον.*

Ἰσχὺς καὶ κράτος, καὶ ἀῤῥαγὴς προστασία, τῶν πιστῶν Παναγία ὑπάρχεις, μόνη ὡς τεκοῦσα, Θεὸν τὸν ἐν ἰσχύϊ.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Θυσίας ἀναιμάκτους, νέμων τῷ Κυρίῳ, ὡς προεστὼς τῆς λατρείας, ἐν οἴκῳ Θεοῦ, σαυτὸν Δωρόθεε ἦξας, θῦμα εὐπρόσδεκτον.

Ὑπήνεγκας γενναίως, πόνους τῇ σαρκί σου, τῇ γηραλέᾳ τοῦ πόθου, ἀκμαίῳ φρενί, διὸ τρυφῆς ἀντιδόσεις, εὗρες Δωρόθεε.

Τελέσας ἀπροσκόπτως, πίστεως τὸν δρόμον, καὶ τῆς ἀγάπης τοὺς ὅρους, τηρήσας καλῶς, τοὺς ἐν ἐλπίδι στεφάνους, ἔσχες Δωρόθεε.

*Θεοτοκίον.*

Ἁγνείας σου τὸ βάθος, καὶ τῆς παρθενίας, τῆς σῆς Μαρία τὸν πλοῦτον, γινώσκων Θεός, ἐκ σοῦ τὴν σάρκα φορέσαι, Κόρη ηὐδόκησεν.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Ὡς τῶν μεγαλείων τῶν θαυμαστῶν, μύστης καὶ ἐκφάντωρ καὶ θεόπνευστος ἑρμηνεύς, δέχου ἱκετῶν σου Δωρόθεε δεήσεις· ἡμῖν ἀντιπαρέχων χάριν θεόσδοτον.

Δικαίων ἐλάμπρυνας στρατιάς, Μαρτύρων χορείας καὶ τὰς τάξεις Ἱεραρχῶν, θείων διδασκάλων ὁμήγυριν συνάμα· σοφῶν τε καὶ ὁσίων δῆμον Δωρόθεε.

Ἡλίου τριφώτου τὴν ἀστραπήν, αὐγὴν καθαράν τε Βασιλείας τῶν Οὐρανῶν, Ἄγγελον τῆς Τύρου ἐν ἔργοις λευκοφόρον Δωρόθεον τὸν πάνυ πάντες αἰνέσωμεν.

Σοφίας Δωρόθεε ποταμόν, συνέσεως κρήνην καὶ λυχνίαν τῶν ἀρετῶν, πόλιν τε κειμένην ἐπ᾽ ὄρους ἔγνωμέν σε· τὸ φῶς τῆς ἀληθείας πᾶσι πυρσεύοντα.

Ἰσχὺν τὴν ἀήττητον τοῦ Σταυροῦ, ἐμφρόνως φορέσας διπλοΐδα ὡς ἱεράν, ἔφερες ἀνδρείως σαρκὶ ἐν γηραιᾷ σου· ὀδύνας Μαρτυρίου θεῖε Δωρόθεε.

Χαίροις φίλε τίμιε τοῦ Χριστοῦ, χαίροις Ἐκκλησίας ὦ ἐράσμιε φοιτητά, χαίροις ὁ ἐν Τύρῳ καὶ Θράκης Δυσσοπόλει· τὰ ἔπη τῶν Ἁγίων γράψας Δωρόθεε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν*

*Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Τύπος τοῦ Κυρίου γεγονώς, τοῦ ὑπὲρ ἡμῶν ἑκουσίως, ἐν τῷ τιμίῳ Σταυρῷ, πάθη ὑπομείναντος, σεπτὰ καὶ ἄχραντα· ὑπὲρ ποίμνης Δωρόθεε, τῆς θείας ἐν Τύρῳ, ἣν χερσὶ τιμίαις σου, Χριστὸς ἀνέθετο· ὅλην δεδωκὼς τὴν ψυχήν σου, θῦμα λογικὸν προσηνέχθης· Τούτου ἐκτελῶν τὰ παραγγέλματα.

Βίους τῶν Ἁγίων μελετῶν, ἐν θεοπειθεῖ σου καρδίᾳ, καὶ ὀφθαλμοῖς τοῦ νοός, βλέπων τὰ ἀπόῤῥητα, Χριστοῦ μυστήρια· ἐν γραφαῖς ἐξιστόρησας, ἁγίαις σου ταῦτα, βίβλους ὡς θησαύρισμα, μέγα καὶ ἄσυλον· πλείστας ἐπαφήκας σοῖς τέκνοις, θεῖε Ἱεράρχα τῆς Τύρου· ἄνερ θεοπρόβλητε Δωρόθεε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*

